UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Plutarchu Chairōneōs Ta Sōzomena Panta

Continens Moralia

**Plutarchus**

**Francofurti, 1620**

De amicorum multitudine

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-1372

Visual Library

A

# PLVTARCHI de Amicorum multitudine Libellus.

MENONEM Thessalũ, qui in disserendo satis videbatur exercitatus, omninoq; in summo (iuxta illud Empedocleum) sapientiæ versari culmine, Socrates interrogauit, Quid esset virtus. cumq; respondisset satis prompte atque proterue, virtutem & pueri esse, & senis, & viri, & mulieris, & magistratus, & priuati, & domini, & serui: Tu vero, inquit Socrates, præclare, qui de vna interrogatus virtute, velut apiariũ quoddã virtutũ excitasti. non male coniiciẽs, abs ne vnã quidem cognitã habente virtutem homine, plures nominatet. Nonne nos quoq; subsannauerit aliquis, qui cum ne vnã quidem firmiter contraxerimus amicitiã, metuimus ne imprudẽtes in copiã complurium amicorũ incidamus? fere enim perinde hoc facimus ac si mutilus cæcusve aliquis vereatur, ne in centimanũ euadat Briareum, aut Argum illum oculorum multitudine nobilem. Atqui maiorem in modum laudamus adolescentem illum Menandri, qui se valde admirari ait vnumquenq; bonorum cui amici vel vmbra obtigerit. Iam inter multas alias hęc non est minima causa cur nullos amicos paremus, quod multitudinem amicorum appetimus, cum instar impudicarum mulierum sæpe & cum multis coeuntes, ptimos quosque neglectos & dilabentes retinere non possumus. aut potius quemadmodum Hypsipylæ alumnus ille in prato sedens carpebat alium post aliũ florem cõsectatus læto animo, vt est apud poetam, infantia inutilem reddente delectum: ita quiuis nostrum studio quodam nouitatis & præsentium fastidio recenti semper & quasi virente capitur amico, ac subinde mutatur multas simul imperfectasq; ordiens amicitias ac familiaritates, & ob amorem eius quem sectatur, præterit iam partum. Proinde initio repetito ex ipsa antiquitate, tot à priscis temporibus seculorum decursum testem & consiliarium rei huius adhibeamus, cõsideremusque de veris amicis quæ fama sit ad nos propagata. Inueniemus aũt binos semper amicos memoriæ perhibitos, Theseum & Pirithoum, Achillẽ & Patroclum, Orestem & Pyladem, Pythiam & Damonem, Epaminondam & Pelopidam. Est enim amicus animal vna quidem degens, sed non vt in armento aut graculorum caterua. & quod amicus dicitur alter ipse, id nihil aliud significat quam binarium esse amicitiæ mensuram. Iam neque seruos, neque amicos multos exiguo nomismate emere licet. Quod autem est nomisma quo amici comparantur? beneuolentia & gratia cum virtute coniuncta. quibus rebus nihil rarius fert natura. itaq; valde amare & amari inter multos locũ nõ habet. Sed sicuti amnes in multos diuisi alueos, imbecilli fluunt ac tenues: sic vehemẽs amor in animo si dissipetur in multos, eneruatur. vnde fit vt ea etiã animalia prolẽ suam magis ament, q̃ vnum tantũ gignunt: & Homerus charum filium appellat,

# ΠΛΟΥΤΑΡΧΟΥ Περὶ πολυφιλίας.

ΜΕΝΩΝΑ τὸν Θετταλὸν, οἰόμενον ἐν λόγοις ἱκανῶς γεγυμνάσθαι, καὶ τοῦτο δὴ τὸ ὑπὸ τοῦ Ἐμπεδοκλέους λε-
B γόμενον, σοφίας ἐπ' ἄκροισι θαμίζειν, ἠρώτησεν ὁ Σωκράτης τί ἀρετή ἐστιν· ἀποκριναμένου δὲ ἰταμῶς ἐκείνου καὶ προχείρως, ὅτι καὶ παιδός ἐστιν ἀρετὴ καὶ πρεσβύτου, καὶ ἀνδρὸς καὶ γυναικὸς, καὶ ἄρχοντος καὶ ἰδιώτου, καὶ δεσπότου καὶ θεράποντος, Εὖ γε (εἶπεν ὁ Σωκράτης) ὅτι μίαν ἀρετὴν ἐρωτηθεὶς, σμῆνος ἀρετῶν κεκίνηκας. οὐ κακῶς τεκμαιρόμενος ὅτι μηδεμίαν εἰδὼς ἀρετὴν ὁ ἄνθρωπος, πολλὰς ὠνόμαζεν. ἆρ' οὖν καὶ ἡμῖν ἄν τις ἐπιχλευάσειεν, ὅτι μηδέπω μίαν φιλίαν κεκτημένοι βεβαίως, φοβούμεθα μὴ λάθωμεν εἰς πολυφιλί-
C αν ἐμπεσόντες. σχεδὸν γὰρ οὐδὲν διαφέρομεν ἀνθρώπου κυλλοῦ καὶ τυφλοῦ, φοβουμένου μὴ Βριάρεως ὁ ἑκατόγχειρ, καὶ Ἄργος ὁ πανόπτης γένηται. καίτοι τόν γε παρὰ τῷ Μενάνδρῳ νεανίσκον ὑπερφυῶς ἐπαινοῦμεν, εἰπόντα, θαυμαστὸν ὅσον νομίζειν ἕκαστον ἀγαθὸν ἂν ἔχῃ φίλου σκιάν. αἴτιον δὲ μετὰ πολλῶν ἄλλων οὐχ ἥκιστά γ' εἰς φιλίας κτῆσιν, ἡ τῆς πολυφιλίας ὄρεξις· ὥσπερ ἀκολάστων γυναικῶν τῷ πολλάκις καὶ πολλοῖς συμπλέκεσθαι, τῶν προτέρων κρατεῖν μὴ δυναμένοις, ἀμελουμένων καὶ ἀπορρεόντων. μᾶλλον δ' ὥσπερ ὁ τῆς Ὑψιπύλης τρόφιμος εἰς τὸν λειμῶνα καθίσας ἔδρεπεν ἕτε-
D ρον ἐφ' ἑτέρῳ αἱρόμενος ἄγρευμα ἀνθέων ἡδομένᾳ ψυχᾷ, τὸ νήπιον ἄπληστον ἔχων· οὕτως ἕκαστον ἡμῶν, διὰ τὸ φιλόκαινον καὶ ἁψίκορον, ὁ πρόσφατος ἀεὶ καὶ ἀνθῶν ἐπάγεται, καὶ μετατίθησι πολλὰς ὁμοῦ καὶ ἀτελεῖς ἀρχὰς πράττοντα καὶ φιλίας καὶ συνηθείας, ἔρωτι τοῦ διωκομένου παρερχομένους τὸν καταλαμβανόμενον. πρῶτον μὲν οὖν ὥσπερ ἀφ' ἑστίας ἀρξάμενοι τῆς τοῦ βίου φήμης, ἣν ὑπὲρ φίλων βεβαίων ἀπολέλοιπεν ἡμῖν, τὸν μακρὸν καὶ παλαιὸν αἰῶνα μάρτυρα ἅμα τοῦ λόγου καὶ σύμβουλον λάβωμεν, ἐν ᾧ κατὰ ζεῦγος φιλίας λέγονται, Θησεὺς καὶ Πειρίθους, Ἀχιλλεὺς
E καὶ Πάτροκλος, Ὀρέστης καὶ Πυλάδης, Φιντίας καὶ Δάμων, Ἐπαμινώνδας καὶ Πελοπίδας. σύννομον γὰρ ἡ φιλία ζῶον, οὐκ ἀγελαῖόν ἐστιν, οὐδὲ κολοιῶδες, καὶ τὸ ἄλλον αὐτὸν ἡγεῖσθαι τὸν φίλον, καὶ προσαγορεύειν ἑταῖρον καὶ ἕτερον, ὡς ἕτερον οὐδέν ἐστιν, ἄλλο, πλὴν μέτρῳ φιλίας τῇ δυάδι χρωμένων. οὔτε γὰρ δούλους, οὔτε φίλους ἐστὶ κτήσασθαι πολλοὺς ἀπ' ὀλίγου νομίσματος· τί οὖν νόμισμα φιλίας; εὔνοια καὶ χάρις μετ' ἀρετῆς, ὧν οὐδὲν ἔχει σπανιώτερον ἡ φύσις. ὅθεν τὸ σφόδρα φιλεῖν καὶ φιλεῖσθαι, πρὸς πολλοὺς οὐκ ἔστιν· ἀλλ' ὥσπερ οἱ ποταμοὶ πολλὰς σχί-
F σεις καὶ κατατομὰς λαμβάνοντες, ἀσθενεῖς καὶ λεπτοὶ ῥέουσιν, οὕτω τὸ φιλεῖν σφοδρὸν ἐν ψυχῇ πεφυκὸς, εἰς πολλοὺς μεριζόμενον ἐξαμαυροῦται. διὸ καὶ τῶν ζώων τὸ φιλότεκνον, τοῖς μονοτόκοις ἰσχυρότερον ἐμφύεται. καὶ Ὅμηρος ἀγαπητὸν υἱὸν ὀνομάζει,

Amicitię eſt, mores, affectus, ſermonem, ſtudia, & animi ſenſum exæquare. Proteus vero ſit quidam infelix, neque adeo bonus, qui ſubinde præſtigiis quibuſdam ex alio ſeſe in alium transformet, legat cum litterarum ſtudioſis, in arena ſit cũ palęſtræ deditis, venetur cum venationẽ amantibus, cum ebrioſis potet, cum ciuilibus comitia obeat, neque proprios habet ſuarum actionum lares. Sic ut autem philoſophi naturam ſiue materiam formæ ac coloris expertem, vt ſubiectum, ſui mutationibus aiunt modo incendi, modo humectari, & alias in aerem diſſolui, alias condenſari: ita amicorum multitudini ſubiicere oportebit animum multiplicem, verſatilem, nobilem & facile mutabilem. Cæterum amicitia ſtabile requirit quippiam, & immutabile ingenium, quod eandem retineat conſuetudinem. ideo rarus & inuentu difficilis eſt conſtans amicus.

A αἱ δὲ φιλίαι τὰ ἤθη ζητοῦσι συνεξομοιοῦν, καὶ τὰ πάθη, καὶ τοὺς λόγους, καὶ τὰ ἐπιτηδεύματα, καὶ τὰς διαθέσεις. Πρωτέως τινὸς οὐκ εὐτυχοῦς οὐδὲ πάνυ χρηστοῦ τὸ ἔργον, ἀλλ' ὑπὸ γοητείας ἑαυτὸν εἰς ἕτερον εἶδος ἐξ ἑτέρου μεταλλάττοντος ἐν τῷ αὐτῷ πολλάκις, φιλολόγοις συναναγινώσκοντος, καὶ παλαιστραῖς συγκονιουμένου, καὶ φιλοθήροις συγκυνηγετοῦντος, καὶ φιλοπόταις συμμεθυσκομένου, καὶ πολιτικοῖς συναρχαιρεσιάζοντος, ἰδίαν ἤθους ἑστίαν οὐκ ἔχοντος. ὡς δὲ τὴν ἀσχημάτιστον οἱ φυσικοὶ καὶ ἀχρώματον οὐσίαν καὶ ὕλην λέγουσιν ὑποκειμένην καὶ τρεπομένην ὑπ' αὐτῶν, B νῦν μὲν φλέγεσθαι, νῦν δ' ὑγραίνεσθαι, ποτὲ δ' ἐξαεροῦσθαι, πήγνυσθαι δὲ αὖθις· οὕτως ἄρα τῇ πολυφιλίᾳ ψυχὴν ὑποκεῖσθαι δεήσει, πολυπαθῆ καὶ πολύτροπον καὶ ὑγρὰν, καὶ ῥᾳδίαν μεταβάλλειν. ἀλλ' ἡ φιλία στάσιμόν τι ζητεῖ καὶ βέβαιον ἦθος καὶ ἀμετάπτωτον ἐν μιᾷ χώρᾳ καὶ συνηθείᾳ. διὸ καὶ σπάνιον καὶ δυσεύρετόν ἐστι φίλος βέβαιος.

## PLVTARCHI LIBELLVS De fortuna.

*Vitam regit fortuna, nõ ſapientia,* dixit quidam: res humanas nõ conſilii dexteritate, ſed fortuito diſpenſari ſentiẽs. Quid ergo? neq; iuſticia, neq; ęqualitas, neque temperantia, neq; modeſtia res humanas dirigunt? ſed à fortuna & propter fortunam factum eſt vt in ſua perſeueraret Ariſtides paupertate, cum parare diuitias ſibi poſſet? & Scipio Carthagine capta nihil prædæ neque fideret neque acciperet? & Philocrates accepta à Philippo pecunia meretrices ac piſces emeret? Laſthenes & Euthycrates vẽtre ac rebus turpiſſimis metiti felicitatẽ, Olynthũ perderent? Alexander Philippi F. captiuis mulierib. cum ipſe abſtineret, tum vim facientes puniret? Alexander autẽ Priami F. aduerſa fortuna eo adactus eſt vt ſtuprum hoſpitis vxori offerret, eaq; abducta duas continentes bello ac malis impleret? Hæc n. ſi fortunæ adſcribuntur, quid impedit quo minus feles, hircos, ſimias dicamus fortuito eſſe guloſos, libidinoſos, ſcurriles? Sin eſt aliqua tẽperantia, iuſtitia, fortitudo, qui cõſentaneũ eſt prudentiam, ſi prudentia, cõſilii dexteritatẽ nullam eſſe? cum & temperantia dicatur quædam eſſe prudentia, & iuſtitia præſentem requirat prudentiam. Imo prudentiam qua adhibita circa voluptates officium tuemur, continentiæ & temperantiæ nomine afficimus: eandemq; in periculis & laborib. tolerantiam, ac fortitudinem, in contractibus & rebus publicis æquitatem iuſticiamque vocamus. Vnde fit, vt ſi fortunæ imputamus quæ conſilii dexteritate præſtantur, eidem etiam iuſticiæ & temperantię opera ſint imputanda: & furari me hercle, & marſupia deſecare, & laſciuire, fortunæ acceptum feretur. deniq; noſtris ratiocinationibus valere iuſſis, fortunæ totos nos trademus, quaſi vento quodam inſtar pulueris aut quiſquiliarum exagitatos atque diſſipatos. Iam conſilii dexteritate ſublata, par eſt neque conſiderationem vllam rerũ relinqui, neq; inueſtigationẽ vtilitatis. ſed delirauit Sophocles, cum diceret:

## ΠΛΟΥΤΑΡΧΟΥ ΠΕΡΙ τύχης.

C ΤΥΧΗ τὰ θνητῶν πράγματ', οὐκ εὐβουλία, πότερον οὐδὲ δικαιοσύνη τὰ θνητῶν πράγματα, οὐδὲ ἰσότης, οὐδὲ σωφροσύνη, οὐδὲ κοσμιότης; ἀλλ' ἐκ τύχης μὲν καὶ διὰ τύχην Ἀριστείδης ἐνεκαρτέρησε τῇ πενίᾳ, πολλῶν χρημάτων κύριος γενέσθαι δυνάμενος; καὶ Σκιπίων Καρχηδόνα ἑλὼν, οὐδὲν οὔτ' ἔλαβεν οὔτ' εἶδε τῶν λαφύρων; ἐκ τύχης δὲ καὶ διὰ τύχην Φιλοκράτης, λαβὼν χρυσίον παρὰ Φιλίππου, πόρνας καὶ ἰχθῦς ἠγόραζε; D καὶ Λασθένης καὶ Εὐθυκράτης ἀπώλεσαν Ὄλυνθον, τῇ γαστρὶ μετροῦντες καὶ τοῖς αἰσχίστοις τὴν εὐδαιμονίαν; ἀπὸ τύχης δὲ ὁ μὲν Φιλίππου Ἀλέξανδρος, αὐτός τε τῶν αἰχμαλώτων ἀπείχετο γυναικῶν, καὶ τοὺς ὑβρίζοντας ἐκόλαζεν; ὁ δὲ Πριάμου, δαίμονι κακῷ καὶ τύχῃ χρώμενος, συνεκοιμᾶτο τῇ τοῦ ξένου γυναικὶ, καὶ λαβὼν αὐτὴν ἐνέπλησέ τε πολέμου καὶ κακῶν τὰς δύο ἠπείρους; εἰ γὰρ ταῦτα γίνεται διὰ τύχην, τί κωλύει καὶ τὰς γαλᾶς καὶ τοὺς τράγους καὶ τοὺς πιθήκους συνέχεσθαι φάναι διὰ τὴν τύχην ταῖς λιχνείαις καὶ ταῖς ἀκρασίαις καὶ βωμολοχίαις; εἰ δ' ἔστι σωφροσύνη καὶ δικαιο- E σύνη καὶ ἀνδρεία, πῶς λόγον ἔχει μὴ εἶναι φρόνησιν; εἰ φρόνησις, πῶς εὐβουλίαν μὴ εἶναι; ἡ γὰρ σωφροσύνη, φρόνησίς τις ἐστὶν, ὡς λέγουσι, καὶ ἡ δικαιοσύνη τῆς φρονήσεως δεῖται. παρούσης δὲ μᾶλλον, τὴν εὐβουλίαν καὶ τὴν φρόνησιν ἐν μὲν ἡδοναῖς ἀγαθοὺς παρεχομένην, ἐγκράτειαν καὶ σωφροσύνην καλοῦμεν, ἐν δὲ κινδύνοις καὶ πόνοις, καρτερίαν καὶ ἀνδραγαθίαν, ἐν δὲ κοινωνήμασι καὶ πολιτείαις, εὐνομίαν καὶ δικαιοσύνην. ὅθεν εἰ τὰ τῆς εὐβουλίας ἔργα, τῆς τύχης δικαιοῦμεν εἶναι, ἔστω τύχης καὶ τὰ τῆς δικαιοσύνης καὶ τὰ τῆς σωφροσύνης· καὶ νὴ Δία τὸ κλέπτειν, τύχης ἔστω, καὶ τὸ βαλαντιοτομεῖν, καὶ τὸ ἀκολασταίνειν, καὶ μεθέμενοι F τῶν οἰκείων λογισμῶν, εἰς τὴν τύχην ἑαυτοὺς ἀφῶμεν, ὥσπερ ὑπὸ πνεύματος πολλοῦ, κονιορτὸν ἢ συρφετὸν ἐλαυνομένους, ἢ διαφερομένους. εὐβουλίας τοίνυν μὴ οὔσης, οὐδὲ βουλὴν εἰκὸς εἶναι περὶ πραγμάτων, οὐδὲ σκέψιν, οὐδὲ ζήτησιν τοῦ συμφέροντος· ἀλλὰ ἐλήρησεν εἰπὼν ὁ Σοφοκλῆς ὅτι